www.tezaurliturgic.ro

ΕΚΔΟΣΙΣ "ΑΓΙΟΡΕΙΤΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ,,

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ
# ΕΙΡΗΝΗΣ
## ΗΓΟΥΜΕΝΗΣ ΤΗΣ Ι. ΜΟΝΗΣ ΤΟΥ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ

Ἑορταζομένης τῇ ΚΗ΄ Ἰουλίου.

ΜΕΤΑ ΤΟΥ ΒΙΟΥ ΑΥΤΗΣ & ΠΑΡΑΚΛ. ΚΑΝΟΝΟΣ

Ποίημα
ΑΛΕΞΑΝΔΡΟΥ ΜΩΡΑΪΤΙΔΟΥ
(Ἀνδρονίκου Μοναχοῦ)

Ἐκδίδεται τῇ ἐγκρίσει καὶ εὐλογίᾳ τῆς Ἱερᾶς Συνόδου.

Ἐπιμελείᾳ *ΥΙΩΝ ΣΩΤ. ΣΧΟΙΝΑ*

ΕΚΔΟΣΙΣ ΔΕΥΤΕΡΑ

1986
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΥΙΩΝ ΣΩΤ. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

www.tezaurliturgic.ro




Ἡ Ἁγία Εἰρήνη Χρυσοβαλάντου

www.tezaurliturgic.ro

ΜΗΝΙ ΙΟΥΛΙΩ ΚΗ΄.

# ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ
# ΕΙΡΗΝΗΣ
## ΗΓΟΥΜΕΝΗΣ ΤΗΣ ΜΟΝΗΣ ΤΟΥ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογεῖται ἡ α΄ στάσις τοῦ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια δ΄, δευτεροῦντες αὐτά.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ὡς παρθένον ἀκήρατον, Βασιλεὺς ὁ οὐράνιος, νύμφην σε προσήκατο ἀφαρπάσας σε, ὁδηγουμένην πανεύφημε, κάλλει διαλάμπουσαν, εἰς βασίλεια φθαρτά, προειδώς σου τὸν ἔρωτα τὸν ἀνίκητον, πρὸς τοὺς ἄνω νυμφῶνας, ἔνθα πᾶσαι τῶν παρθένων αἱ χορεῖαι, σὺν τοῖς Ἀγγέλοις ἀγάλλονται.

Καλῶς ἦλθες σοὶ ἔφησε, τῶν ὁσίων ὁ ἔξαρχος, ὁ Ἰωαννίκιος ὅτε ἔβαινες, εἰς βασιλίδα τῶν πόλεων, Εἰρήνη πανένδοξε, νυμφευθῆναι τῷ φθαρτῷ βασιλεῖ ἴθι τέκνον μου ἀναμένει σε, ἡ μονὴ ἤδη τοῦ Χρυσοβαλάντου, ἣν ἀντὶ τῶν ἀνακτόρων, ὡς κληρουχίαν ἀπέλαβες.

Καὶ ἀνάκτορον γέγονεν, ὄντως μέγα καὶ ἔνδοξον, διὰ σοῦ πανεύφημε ἡ σεπτὴ Μονή, Χρυσοβαλάντου γυμνάσιον, ἐν ᾧ ὑπερέλαμψαν τὰ παλαίσματα τὰ σά, ἀρεταί σου καὶ χάριτες καὶ τὰ θαύματα, ὑπερβᾶσα τὴν δόξαν βασιλείων, γεηρῶν καὶ φθειρομένων, ὦ Ἡγουμένη πανθαύμαστε.

Πῶς ἐξείπω τὸ ἔκθαμβον, τῶν ἀγώνων σου στάδιον, δι᾿ ὧν κατεπάλαισας τὸν ἀρχέκακον, τῶν νηστειῶν τὸ ἀτέραμνον, τὴν στάσιν τοῦ σώματος, τὰς παννύχους προσευχάς, καὶ χειρῶν τὴν ἀνάτασιν τὴν ἐκπλήττουσαν, καὶ εἰς θάμβος τὰς δύο κυπαρίσσους, ἀγαγοῦσαν αἳ σὺν τρόμῳ, τὰς κορυφὰς καθυπέκλιναν.

Δόξα, ἦχος πλ. β΄.

Σήμερον οἱ χοροὶ τῶν παρθένων, ἐπὶ τῇ μνήμῃ ἀθροισθέντες, τῆς θαυμαστῆς Ἡγουμένης τοῦ Χρυσοβαλάντου, Εἰρήνης τῆς προστάτιδος ἡμῶν, ἐν ᾀσμάτων καινῶν μελῳδίαις, ἀνευφημήσωμεν ταύτην λέγοντες. Χαίροις ἡ τὴν ἱεράν σου στολήν, τῇ πανεκθάμβῳ ἀσκήσει ἐκλαμπρύνασα, καὶ δῶρον ἐκλεκτὸν προσαγαγοῦσα, τῷ ἀφθάρτῳ Νυμφίῳ σου Χριστῷ τῷ

www.tezaurliturgic.ro



Θεῷ ἡμῶν. Χαίροις ἡ ὅλον τὸν πόθον πρὸς αὐτὸν ἀνατείνουσα, νυκτὸς καὶ μεθ᾽ ἡμέραν, οἷα τις στήλη στερρά, ἐπὶ τῇ πέτρᾳ τῆς πίστεως ἡδρασμένη, τὰς χεῖρας ἐπαίρουσα, εἰς θάμβος καὶ ἔκπληξιν καὶ αὐτῶν τῶν ἀψύχων. Χαίροις ἡ ἀπολαβοῦσα εἰς ἀντάμειψιν, τὴν δωρεὰν τῶν θαυμάτων ἀνεξάντλητον, δι᾽ ὧν ἀΐδιος ἡ δόξα τοῦ Χρυσοβαλάντου ἐκλάμπει, στηρίζουσα τὰς παρθένους εἰς ὑπομονὴν καὶ ταπείνωσιν. Ἀλλ᾽ ὦ Εἰρήνη χρυσώνυμε, τοῦ εἰρηνοποιοῦ Χριστοῦ νύμφη πανακήρατε, ἱκέτευε αὐτὸν ἐκτενῶς, εἰρήνην δωρήσασθαι ἡμῖν τοῖς λαμπρῶς ἐπιτελοῦσι, τὴν πανέορτον μνήμην σου.

Καὶ νῦν.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς. Φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ ἀνάγνωσμα.

Κεφ. λα´ 10 Υἱὲ ἄνοιγε σὸν στόμα ἐν φόβῳ Θεοῦ καὶ κρῖνε πάντα ὑγιῶς· ἄνοιγε σὸν στόμα καὶ κρῖνε δικαίως, διάκρινε δὲ πένητα καὶ ἀσθενῆ. Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ᾽ αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον· μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν· συνάγει δὲ αὐτῆς τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις, θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς, καθ᾽ ὅλην τὴν νύκτα. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας ἐρείδει εἰς ἄτρακτον· χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς ὅταν που χρονίζῃ. Πάντες δὲ οἱ παρ᾽ αὐτῇ ἐνδεδυμένοι εἰσί. Δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο περιζώματα τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ ηὐφράνθη ἐν ἡμέραις ἐσχάταις, στόμα αὐτῆς διήνοιξε προσηκόντως καὶ ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. Στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. Τὸ στόμα δὲ αὐτῆς ἀνοίγει σοφῶς καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησαν τὰ τέκνα αὐτῆς καὶ ἐπλούτισαν, καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτή-

www.tezaurliturgic.ro



σαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῇρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ εὐσεβὴς εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω· δότε αὐτῇ ἀπὸ καρπῶν χειρῶν αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Κεφ. ε΄ 16 Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην· καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν· καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σαλομῶντος τὸ ἀνάγνωσμα.

Κεφ. δ΄ 7 Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Στιχηρὰ ἰδιόμελα. Ἦχος α΄.

Σταλάξατε οἱ παρθενῶνες καὶ αἱ λαῦραι γλυκασμόν, καὶ σὺ μονὴ τοῦ Χρυσοβαλάντου, σκίρτα καὶ χόρευε. Ὅτι ἐκ τῶν σῶν ἀγκαλῶν ἀνέθορεν ὡς κυπάρισσος ἱερὰ ἡ βασιλικὴ παρθένος, ἡ ἀγλαοφανὴς Εἰρήνη· τῆς ἀσκήσεως ὁ ἀκρέμων, ὁ ἔκλαμπρος τῆς ταπεινώσεως, τὸ ὑπερφυὲς σεμνολόγημα, τῆς ὑπομονῆς ἡ ἀκατάσειστος κρηπίς, ἡ ἀκένωτος πηγὴ τῶν θαυμάτων καὶ τῆς διδασκαλίας ἡ ἀηδὼν ἡ καλλικέλλαδος, ὑφ᾿ ἧς ποδηγετούμεναι αἱ φιλομόναχοι ψυχαί, ἐν-

www.tezaurliturgic.ro



τόλμως ἀναβαίνουσιν ἀπὸ τῶν ἐπιγείων εἰς τὰ οὐράνια.

Ἦχος β'.

Ὢ θαύματος ἐκστατικοῦ! Πῶς ἡ θεία χάρις οἶδεν ἀντιβραβεύειν, τοὺς διὰ Θεὸν κοπιῶντας καὶ πάσχοντας ἐν σοφῇ ἐπιγνώσει. Καὶ ἐπὶ ἄλλων μὲν πνευματοφόρων σημεῖα ἐφάνη καὶ τέρατα, ἀλλ' ἐπὶ σοῦ Εἰρήνη πανθαύμαστε, φρικτὸν ὄντως τὸ τερατούργημα, πάντα νοῦν ὑπερέχον καὶ διάνοιαν, ναυκλήρου ποτὲ κομίσαντός σοι, ἐπὶ χρυσῆς ὀθόνης τρία μῆλα δροσόλουστα, ὧν ἡ ὀσμὴ ὡς ἀπὸ μύρων, νύμφης τῆς ᾀσματικῆς, ἐκ τῶν ἀκηράτων τοῦ Παραδείσου λειμώνων, δῶρον πανέντιμον Ἰωάννου τοῦ ἠγαπημένου, ὅτι καὶ σὺ ἠγάπησας πολὺ τὸν Υἱὸν τὸν ἀγαπητόν, ὦ Ἡγουμένη τοῦ Χρυσοβαλάντου κρινοστάλακτε.

Ὁ αὐτός.

Τὴν ἐπὶ γῆς Ἄγγελον, καὶ ἐν οὐρανοῖς ἄνθρωπον Θεοῦ, τῶν παρθένων τὴν εὐκοσμίαν, τῆς ὑπομονῆς τὸν ὑπογραμμὸν καὶ τῆς ταπεινώσεως τὸ ὕψος τὸ ἀνυπέρβλητον· τὸ καύχημα τῆς ἀσκήσεως, καὶ τῶν θαυμάτων τὸ μέγα περιήχημα, Εἰρήνην τὴν ὁσίαν τιμήσωμεν· ὅτι ἐκ βρέφους τῷ Θεῷ ἀφιερωμένη ἐξήνθησεν ὡσεὶ κέδρος ἡ ἀπὸ Λιβάνου, ἐν τῇ μονῇ τοῦ Χρυσοβαλάντου. Καὶ νῦν ἐν οὐρανοῖς, ἀπολαβοῦσα τῶν ἀγώνων τὰ γέρα, εὐφραίνεται μετὰ τοῦ συμπολίτου αὐτῆς Βασιλείου τοῦ μεγάλου, πρεσβεύουσα μετ' αὐτοῦ, ὅπως ἵλεως γένηται ἡμῖν ὁ Θεός, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Δόξα, ἦχος πλ. α'.

Μῆτερ ὁσία, τῆς φωνῆς τοῦ εὐαγγελίου τοῦ Κυρίου ἀκούσασα, τὸν κόσμον κατέλιπες, τὸν πλοῦτον καὶ τὴν δόξαν καὶ τὰς βασιλείους αὐλὰς εἰς οὐδὲν λογισαμένη, ἀλλ' ἀντὶ τούτων ἁπάντων, τὸν Θεὸν ἀγαπήσασα· ὅθεν καὶ πάσαις ταῖς μοναζούσαις ἐβόας. Φυλάξατε εἰλικρινῶς τοὺς νόμους καὶ ὅρους τοῦ σχήματος, ἵνα ὅταν ἔλθῃ ὁ Χριστὸς ἐν τῇ δόξῃ αὐτοῦ, εἰσαγάγῃ καὶ ὑμᾶς εἰς τὸν οὐράνιον Νυμφῶνα, ἔνθα εὑρήσετε ἀνάπαυσιν μετὰ πάντων τῶν Ἁγίων. Ἧς ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, φώτισον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

## ΑΠΟΣΤΙΧΑ

Στιχηρὰ προσόμοια.

Ἦχος α'. Πανεύφημοι μάρτυρες.

Σαυτὴν ἐκκαθάρισας καλῶς, Εἰρήνη πανεύφημε, χάριν ἐδέξω τοῦ Πνεύματος, διώκειν δαίμονας, θεραπεύειν νόσους, προορᾷν τὰ μέλλοντα, διδάσκειν ἀπλανῶς τὰ συμφέροντα, διὸ προσπίπτω σοι. Ἴασαί μου τὴν προαίρεσιν, ἀστοχοῦσαν εἰς ἔργα θεάρεστα.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Διὰ ταπεινώσεως πολλῆς, Εἰρήνη πανένδοξε, εἰς δόξης ὕψη οὐράνια, ἀπέπτης εὐθαρσῶς, ὅθεν τῆς σο-

www.tezaurliturgic.ro



φίας, τῆς ἀφθάρτου ἔπιες, τὰ νάματα τὴν γνῶσιν τοῦ Πνεύματος, διό σου δέομαι, φώτισόν μοι τὴν διάνοιαν, εἰς κακῶν ἀνοδίας προσκόπτουσαν.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Τὸν μέγαν Ἀρσένιον σοφῶς, Εἰρήνη πανέκλαμπρε, ἐκμιμουμένη τὴν πάννυχον, ἐκτήσω προσευχήν, ἐν στάσει ἀπτώτῳ, εἰς θαῦμα καὶ ἔκπληξιν, χοροῦ τοῦ τῶν παρθένων τῆς ποίμνης σου, διὸ καὶ νῦν κἀμέ, νυσταλέον καὶ συνόμερον, εἰς αἶνον τοῦ Πλάστου ἐξήγειρον.

Δόξα, ἦχος δ΄.

Ἐξέλθετε τῶν παρθένων οἱ χοροί, ἐξέλθετε τῶν μοναστῶν καὶ μιγάδων αἱ φάλαγγες, καὶ θεάσασθε θαῦμα φρικωδέστατον. Ἡ καλλιπάρθενος καὶ ὡραιόμορφος Εἰρήνη, ὑψώσασα τὰς χεῖρας εἰς προσευχήν, μετέωρος αἴφνης ὤφθη, ὥς τι ἀεροδρόμον πτηνόν, κούφη διὰ τῆς καθάρσεως τῶν παθῶν γεγονυῖα, καὶ συνανυψώσασα τὸ σαρκίον τὸ πήλινον, ὑπόδουλον τῷ κρείττονι, ἀνέδραμε νοερῶς πρὸς τὸν τῶν ὅλων Θεὸν κράζουσα, εἰς ὀσμὴν μύρου σου ἔδραμον, Χριστὲ Βασιλεῦ. Μὴ ἀπώσῃ με, Νυμφίε ἐπουράνιε, ἡ χαρὰ τῶν Ἀγγέλων, ἀλλὰ δέξαι με εἰς τὰς ἀφθάρτους σου σκηνάς, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων καὶ βοώντων ἀπαύστως, Κύριε δόξα σοι.

Καὶ νῦν.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον.

Βασιλείας γηΐνου πάλαι οὐκ ἔτυχες, ἀλλ᾽ ἀφθάρτων στεφάνων νῦν σὲ ἠξίωσεν, ὁ Νυμφίος σου Χριστὸς ὁ ὡραιότατος, εἰς ὃν ἀφιέρωσας σαυτήν, ἀποσπασθεῖσα τῶν φθαρτῶν, ὅλῃ ψυχῇ καὶ καρδίᾳ. Εἰρήνη δόξα Χρυσοβαλάντου, ἡμῶν δὲ προσφυγὴ καὶ βοήθεια.

Δόξα, καὶ νῦν.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος. Χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ. Χαῖρε ἀχείμαστε λιμήν, καὶ ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκί, τὸν Ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

Εἶτα ψάλλομεν τό, Θεοτόκε Παρθένε καὶ γίνεται ἡ εὐλόγησις τῶν ἄρτων. Ποιούμεθα δὲ ἀνάγνωσιν ἐκ τοῦ βίου τῆς Ὁσίας καὶ ἐξακολουθοῦμεν τὴν ἀγρυπνίαν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα.
Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Ἐπιγείους λαμπρότητας καὶ τιμάς, βδελυχθεῖσαν θεόφρον ἀσκητικήν, πορείαν ἀνέλαβες, καὶ Σταυρὸν τοῦ Κυρίου σου, ἐν ἄκρᾳ ταπεινώσει ἐπ᾽ ὤμων βαστάζουσα, καθηγήσω παρθένων χοροῦ κατ᾽ ἐπίγνωσιν, ἃς καὶ θρεψαμένη, ἐν τῷ φόβῳ Κυρίου, εἰσήγαγες χαίρουσα, εἰς νυμφῶνα οὐράνιον. Ἡγουμένη πανθαύμαστε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι,

www.tezaurliturgic.ro



τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης πάσης τὸ μέγα κειμήλιον· ὅτι σωτηρία ἐν αὐτῇ διεπράχθη, τῷ κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων, διὰ τοῦτο βοῶμεν αὐτῇ. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον τόκον σου.

Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα.
Ἦχος πλ. α'. Τὸν συνάναρχον.

Τὴν σοφὴν Ἡγουμένην ὕμνοις τιμήσωμεν, τὴν νεκρώσασαν πάσας τὰς προσβολὰς τῶν παθῶν, δι' ἐγκρατείας ἀληθοῦς καὶ ταπεινώσεως, καὶ καταισχύνασαν λαμπρῶς, τὸν ἀντίπαλον ἐχθρόν, ὡς βδελυκτῶς ἐθεάθη, ἠσβολωμένος τὴν ἧτταν, ὁμολογῶν καὶ τὴν αὐθάδειαν.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἀπειρόγαμε νύμφη Θεογεννήτρια, ἡ τῆς Εὔας τὴν λύπην χαροποιήσασα, ἀνυμνοῦμεν οἱ πιστοὶ καὶ προσκυνοῦμέν σε, ὅτι ἀνήγαγες ἡμᾶς ἐκ τῆς ἀρχαίας ἀρᾶς· καὶ νῦν δυσώπει ἀπαύστως, πανύμνητε Παναγία, εἰς τὸ σωθῆναι ἡμᾶς.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.
Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Τὴν λαμπάδα σου Μῆτερ τὴν ψυχικήν, ἐν ἐλαίῳ πληρώσασα καθαρᾶς, ζωῆς ἔβης χαίρουσα, εἰς τὴν θείαν ὑπάντησιν, τοῦ Νυμφίου πάσῃ τῇ ποίμνῃ σου λέγουσα, ὁ Νυμφίος ἐν δόξῃ προσμένει τὴν ἕτοιμον. Ὅθεν μηδεμία ἀμερίμνως νυστάξῃ, ἀλλὰ ἐξανάψατε τὰς λαμπάδας τῆς πίστεως, ἐλέῳ τε καὶ ἁγνότητι· βλέπετε Χριστὸν τὸν Θεόν, τὸν Νυμφίον χαίροντα εἰσδέξασθαι, τὴν κεκοσμημένην, τὴν λαμπάδα κατέχουσαν.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ὡς παράδεισος ἔμπνους καὶ εὐθαλής, ὡς θεόβλαστος ῥάβδος καὶ λογική, ἀσπόρως ἐβλάστησας, τὸν τροφέα τῆς κτίσεως, ξηράναντα ἐν ξύλῳ ἀρᾶς τὰ βλαστήματα, καὶ αἰωνίου δόξης, τὸν πλοῦτον βλαστήσαντα, τοῖς σὲ ὀρθοδόξως, Θεοτόκον φρονοῦσι, Παρθένε πανάμωμε, Προφητῶν περιήχημα, καὶ βοώντων βοήθεια. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς καταφεύγουσι πόθῳ τῇ θείᾳ προνοίᾳ σου.

**Εἶτα οἱ Ἀναβαθμοί.**

Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον, ἦχος δ'.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.

Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον ὁσιακόν (τῶν δέκα παρθένων).

Ὁ Ν'. Δόξα. Ταῖς τῆς σῆς Ὁσίας..
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ ἰδιόμελον.

Ἦχος πλ. β'.

Ἀδαμάντινε τὴν ψυχήν, τὸ σῶμα χαλύβδινε, στομωθεῖσα τῷ πυρὶ

www.tezaurliturgic.ro



τοῦ Πνεύματος. Ποίοις στεφάνοις σὲ στέψω; ποίοις ἐπαίνοις προσείπω σε; ἀπορῶ καὶ ἐξίσταμαι. Ἀλλ' ἐν τρόμῳ λογιζόμενος τοὺς ὡραίους ἀγῶνάς σου, τοὺς καταπλήξαντας καὶ αὐτὰς τῶν οὐρανῶν τὰς Δυνάμεις, ἐν ταπεινώσει ψυχῆς ἱκετεύω σε Εἰρήνη, ὦ Ἡγουμένη πανθαύμαστε, ἡ θαυμαστῶς ἐλεηθεῖσά τε καὶ χαριτωθεῖσα, παρὰ τοῦ πανευσπλάγχνου Χριστοῦ τοῦ Θεοῦ, πρέσβευε ἐλέους τυχεῖν κἀμὲ δωρεάν, ἐν τῇ φοβερᾷ ἡμέρᾳ ἐκείνῃ, τὸν οἰκτρὸν ὑμνῳδόν σου πανεύφημε.

Ὁ ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου κ.λ.π. Τὸ Κύριε ἐλέησον ιβ', καὶ

**Εἶτα οἱ Κανόνες.**

Ὁ Κανὼν τῆς Θεοτόκου εἰς ϛ' καὶ τῆς Ὁσίας εἰς η'.

Ὁ Κανὼν τῆς Θεοτόκου.

Μετὰ στίχου: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὠδὴ α'. Ἦχος α'. Ὁ εἱρμός.

» Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες,
» Θεῷ τῷ ποιήσαντι, θαυμαστὰ
» τέρατα, βραχίονι ὑψηλῷ, καὶ σώ-
» σαντι τὸν Ἰσραήλ, ὅτι δεδόξασται.

Τροπάρια.

Ὡς μόνη τὸν ἄχρονον Υἱὸν ἐν χρόνῳ, τεκοῦσα σαρκούμενον, Παναγία ἄχραντε, πάντα τὰ χρόνια τῆς παναθλίας μου ψυχῆς, πάθη θεράπευσον.

Τὰ τραύματα πάναγνε τὰ τῆς ψυχῆς μου, καρδίας τὴν πώρωσιν, λογισμοῦ τὴν σκότωσιν, καὶ τοῦ νοός μου ἐκτροπάς, ἀφάνισον ὡς ἀγαθὴ ταῖς σαῖς δεήσεσι.

Τὸ φῶς ἡ κυήσασα τὸν λυτρωτήν μου, τοῦ σκότους με λύτρωσαι, καὶ βασάνων ἄχραντε, τῶν αἰωνίων ἐκεῖ, ὅπως σωζόμενος ὑμνῶ τὰ μεγαλεῖά σου.

Νοός μου πανάμωμε τὰς ἀμαυρώσεις, φωτί σου ἀπέλασον, ἡ τὸ φῶς κυήσασα, τὸ ὑπὲρ ἔννοιαν, καὶ δώρησαί μοι ἀγαθή, τὸ φῶς προσβλέψαι τὸ ἐκ σοῦ ἐξανατεῖλαν ἡμῖν.

Ὠδὴν κατανύξεως τῇ Θεοτόκῳ, θερμῶς προσενέγκωμεν, ὦ ψυχή μου τάλαινα, βεβηλωθεῖσα κακῶς, ἵνα ρυσθῶμεν ἐκ πυρὸς τοῦ αἰωνίζοντος.

Ὁ Κανὼν τῆς Ὁσίας.

Μετὰ στίχου: Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ἀθανασίας νῦν τυχοῦσα πάνσεμνε, καὶ αἰωνίου ζωῆς, θρόνῳ τῷ ἀστέκτῳ, σὺν Ἀγγέλων τάγμασι, παρισταμένη πάμφωτος, Εἰρήνη Χρυσοβαλάντου, τὸ σκότος μου φωταγώγησον, ὅπως τοὺς ἀγῶνας ὑμνήσω σου.

Λελαμπρυσμένη καὶ ψυχῇ καὶ σώματι, Καππαδοκίας βλαστόν, εὐγενικόν Μῆτερ, εἰς τὴν βασιλεύουσαν, ἐκλελεγμένην ἠγόν σε, τοῦ θνητοῦ βασιλέως, νύμφην τοῖς πᾶσι περίβλεπτον, ἀγνοοῦντες τὴν ἄνωθεν κλῆσιν σου.

Ἀνατραφεῖσα ἐν παιδείᾳ πάνσοφε, καὶ νουθεσίᾳ Θεοῦ, τοῦ Ἰωαννικίου, λαβεῖν εὐχὰς ἔσπευσας, ὃς εἶπεν ἀναμένει σε, μονὴ τοῦ Χρυσοβαλάντου, Εἰρήνη ὄντως θεόκλητε, ἐγνωκὼς τὴν ἄνωθεν κλῆσιν σου.

Θεοτοκίον.

Παρθένε Μῆτερ τοῦ Χριστοῦ μου πάναγνε, καὶ Μήτηρ τῶν ὀρφανῶν, τὸν ὀρφανὸν ὄντα, ἐμὲ νῦν κυβέρνησον, καὶ δίδου τὰ συμφέροντα, ἀκυμάντως ὡς πλεύσω, ζωῆς τὸ ἄστα-

www.tezaurliturgic.ro



τον πέλαγος, τῶν ἀγγέλων Κυρία καὶ Δέσποινα.

Καταβασία. Χοροὶ Ἰσραήλ.

Τῆς Θεοτόκου.

Ὠδὴ γ΄. Ὁ εἱρμός.

» Στερεωθήτω ἡ καρδία μου, εἰς » τὸ θέλημά σου Χριστὲ ὁ Θεός, » ὁ ἐφ᾽ ὑδάτων οὐρανόν, στερεώσας » τὸν δεύτερον, καὶ ἑδράσας ἐν τοῖς » ὕδασι, τὴν γῆν παντοδύναμε.

Τροπάρια.

Τῆς στειρευούσης διανοίας μου, ἀκαρπίαν πᾶσαν ἀπέλασον, καὶ καρποφόρον ἀρεταῖς, τὴν ψυχήν μου ἀνάδειξον, παναγία Θεοτόκε, τῶν πιστῶν ἡ βοήθεια.

Ρῦσαί με πάσης κατακρίσεως, καὶ πολλῶν σκανδάλων τοῦ ὄφεως, τοῦ αἰωνίζοντος πυρός, καὶ τοῦ σκότους πανάμωμε, ἡ τὸ φῶς ἀποκυήσασα, ἡμῖν τὸ ἀνέσπερον.

Τὸ ἀπαραίτητον κριτήριον, καὶ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τὴν ἀπόφασιν ἁγνὴ τὴν φρικτὴν ὅλως δέδοικα· σπεῦσον σῶσον πρὸ τοῦ τέλους, ἀγαθὴ τὸν οἰκέτην σου.

Εὐλογημένος τῆς κοιλίας σου, ὁ καρπὸς Παρθένε πανύμνητε, τοὺς γὰρ φθαρέντας τῷ καρπῷ, διὰ ξύλου σταυροῦ αὐτοῦ, ἀφθαρτίσας κατεστήσατο, κοινωνοὺς θείας χάριτος.

Θεογεννῆτορ ἀπειρόγαμε, τὰς ἡμῶν δεήσεις προσάγαγε, τῷ ποιητῇ σου καὶ Θεῷ τῷ τεχθέντι ἐκ μήτρας σου, ὅπως εὕρωμεν τελείαν, τῶν δεινῶν ἀπολύτρωσιν.

Τῆς Ὁσίας.

Οὐρανίας ἁψῖδος.

Μὴ στυγνάσασα ὅλως, πρὸς τὴν σαφῆ πρόρρησιν, τοῦ πνευματοφόρου Ὁσίου, ἐπεὶ τὸν ἄνακτα, εὗρες τελέσαντα, ἤδη τοὺς γάμους εὐθέως, τὴν προφητευθεῖσάν σοι μονὴν κατέλαβες.

Ἐν ψυχῆς εὐφροσύνῃ, πλοῦτον τὸν σὸν ἔνειμας, πενήτων χερσὶ τοῖς δ᾽ οἰκέταις ἐξαπολύσασα, κόμην χρυσόκλωστον, ἐναπορρίπτεις προφρόνως, καὶ νύμφη γεγένησαι τοῦ Παντοκράτορος.

Συναπέκοψας τότε, πᾶν τῆς σαρκὸς φρόνημα, καὶ ἐν ταπεινώσει καρδίας, ἐγένου πάνσοφε, δι᾽ ἄκρας ὑπομονῆς ταῖς ἀδελφαῖς σου τὰ πάντα, ὥσπερ ἀργυρώνητος δούλη δουλεύουσα.

Θεοτοκίον.

Τῶν ἀγγέλων Κυρία, τὸν ῥυπαρὸν δέξαι με, ὥσπερ ὁ Υἱός σου Παρθένε, πάλαι ἐδέξατο, μετανοήσαντας, τὰς πόρνας καὶ τοὺς τελώνας, καὶ στρωμνὴν τοῖς δάκρυσι καταβρέξαντας.

Καταβασία. Τόξον δυνατῶν.

Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἐξάρξατε σεμναί, τῶν παρθένων χορεῖαι, ὑμνοῦσαι ἀγλαῶς, τῆς σεπτῆς Ἡγουμένης, τὴν δόξαν τὴν ἀκήρατον, ἧς ἐπέτυχε χαίρουσαι δι᾽ ἀσκήσεως καὶ καθαρᾶς πολιτείας, εἰς τὰ πάντερπνα τῆς οὐρανίου πατρίδος, τὰ θεῖα σκηνώματα.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων, καὶ θλίψεων. Σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτη-

www.tezaurliturgic.ro



ρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Τῆς Θεοτόκου.

Ὠδὴ δ'. Ὁ εἱρμός.

» Ἐν πνεύματι προβλέπων, προφῆ-
» τα Ἀββακούμ, τὴν τοῦ Λόγου
» σάρκωσιν ἐκήρυττες βοῶν· ἐν τῷ
» ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσει, ἐν
» τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθή-
» σῃ. Δόξα τῇ δυνάμει σου Κύριε.

Τροπάρια.

Παρθένε παναγία ἀμόλυντε σκηνή, μολυνθέντα πταίσματι καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σου ρανίσι καθαρωτάταις· καὶ δός μοι χεῖρα βοηθείας, ἵνα κράζω, δόξα σοι ἁγνὴ θεοδόξαστε.

Ναὸς ἡγιασμένος ἐδείχθης τοῦ Θεοῦ, τοῦ ἐν σοὶ οἰκήσαντος Παρθένε ὑπὲρ νοῦν, αὐτὸν δυσώπει ἁμαρτιῶν ρύπου ἀποκαθάραι, ὅπως οἶκος γνωρισθῶμεν, καὶ κατοικητήριον Πνεύματος.

Ἐλέησόν με μόνη ἐλέους τὴν πηγήν, Θεοτόκε τέξασα καὶ λῦσον τὴν δεινήν, τῆς ψυχῆς μου νόσον καὶ πώρωσιν τῆς καρδίας· δακρύων ρεῖθρα καὶ κατάνυξιν πρὸ τέλους, θείαν δωρουμένη πρεσβείαις σου.

Νοήσας ὁ Προφήτης ἐν Πνεύματι Θεοῦ, πρὸς ὄρος σε προέγραφε κατάσκιον ἁγνή, τοὺς ἐκτακέντας φλογμῷ πολλῶν ἐγκλημάτων, ἀποκαθαίρεις μεσιτείαις σου Παρθένε, μόνη τῶν βροτῶν ἡ ἀνόρθωσις.

Ἐξέστησαν ὁρῶσαι ἀγγέλων στρατιαί, πῶς ὁ ἀθεώρητος μορφῇ τῇ καθ' ἡμᾶς, ἐκ σοῦ ὡράθη Παρθένε Θεοτόκε· ὃν ἐκδυσώπει σωτηρίας ἀξιῶσαι, πάντας τοὺς πιστῶς σε δοξάζοντας.

Τῆς Ὁσίας.

Σύ μου ἰσχὺς Κύριε.

Τὰς ἐντολάς, τῆς Ἡγουμένης φυλάττουσα, νουθεσίας, ταύτης καὶ διδάγματα τὴν πολιτείαν τῶν μοναχῶν, τῶν τεχνῶν τὴν τέχνην, καὶ ἐπιστήμην κατέμαθες· διὸ καὶ ἐπεσπάσω, ἀγάπην τε καὶ σέβας, παρὰ πάντων Εἰρήνη πανθαύμαστε.

Ἐκ προκοπῆς, εἰς προκοπὴν ἀναβαίνουσα, τὰς παννύχους, στάσεις μιμουμένη δὲ τοῦ Ἀρσενίου τὰς θαυμαστάς, ἵστασο ὡς στήλη, τὰς χεῖρας ἄνω ἐπαίρουσα, ἐν ὅλῳ νυχθημέρῳ, βοῶσα ἐν ἐκστάσει, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Πᾶσαν λαμπράν, μετήλλαττες τὸ ἱμάτιον, μονοχίτων, οὖσα ὡς μονότροπος καὶ πληρουμένη ἀσκητικῆς εὐωδίας μῆτερ, εὐῶδες τοῦτο ἀπέβαλες, παρ' ἔτος καὶ ἐδώρεις, πιστῶς τῷ δεομένῳ, τοῦ Σωτῆρος τηροῦσα τὰ λόγια.

Θεοτοκίον.

Σύ μου ἁγνή, παραμυθία ἐν θλίψεσιν, ἐν ἀνάγκαις, σύ μου καταφύγιον ἐν τρικυμίαις σύ μου λιμήν, ἀσφαλὴς καὶ σώζων, καὶ ἔσωσάς με εἰς σπήλαιον, Κυρία τῶν ἀγγέλων, καὶ σώσεις με ἐν ὥρᾳ, τῇ φοβερᾷ παρισταμένη μοι.

Καταβασία. Εἰσακήκοα τὴν ἔνδοξον.

Τῆς Θεοτόκου.

Ὠδὴ ε'. Ὁ εἱρμός.

» Τὴν σὴν εἰρήνην δὸς ἡμῖν Υἱὲ
» τοῦ Θεοῦ, ἄλλον γὰρ ἐκτός σου
» Θεὸν οὐ γινώσκομεν, τὸ ὄνομά σου

www.tezaurliturgic.ro



» ὀνομάζομεν, ὅτι Θεὸς ζώντων καὶ
» τῶν νεκρῶν ὑπάρχεις.

Τροπάρια.

Τὰς κόρας τῆς καρδίας μου διάνοιξον ἁγνή, βλέπειν με τρανῶς τὴν θείαν λαμπρότητα, καὶ τὴν σὴν δόξαν τὴν ἀνέκφραστον, ὅπως ἐλέους τύχω καὶ αἰωνίου δόξης.

Πανάχραντε ὡς τέξασα σωτῆρα καὶ Θεόν, πρέσβευε ἐκ πάσης με θλίψεως, καὶ νοσημάτων καὶ κακώσεων, σῶον συντηρηθῆναι τὸν σὸν ἀχρεῖον δοῦλον.

Δυσώπησον ὃν ἔτεκες Παρθένε ὑπὲρ νοῦν, σώζεσθαι τοὺς πίστει σοι κράζοντας· χαῖρε Παρθένε παναμώμητε, χαῖρε εὐλογημένη τοῦ κόσμου προστασία.

Διάσωσόν με πάναγνε κινδύνων χαλεπῶν, ἔγειρον παθῶν κοπρίας καὶ ῥῦσαί με, αἰχμαλωσίας καὶ κακώσεως πονηρῶν δαιμόνων τὸν σὸν ἀχρεῖον δοῦλον.

Βασίλισσαν Παρθένον σε κηρύττει ὁ Δαβίδ, ἄχραντε ἁγνὴ διό σε ἱκετεύω, τῆς οὐρανίου βασιλείας με, ποίησον κληρονόμον, ἵνα σὲ μακαρίζω.

Τῆς Ὁσίας.

Ἵνα τί με ἀπώσω.

Ὠρυόμενος λύκος, ὁ σατὰν τοὺς ὀδόντας δεινῶς εἰκόνιζε, καὶ διὰ φασμάτων, καὶ ἁμαρτωλῶν λογισμῶν ἔσπευδε, τὸν τόνον ἀπαμβλῦναι, καὶ σὲ καταπτῶσαι θεόφρον, ἀλλ᾽ ἠλέγχθη ἀράχνης λεπτότερος.

Ὀφλισκάνων αἰσχύνην, εἶτα ὡς αἰθίοψ νυκτὸς ἐφίσταται, ἀπειλῶν ὑβρίζων, ὀνειδίζων ὁ δράκων ὁ δόλιος, ἀλλ᾽ αὐτὴ βαλοῦσα, τῷ τοῦ Σταυροῦ θείῳ σημείῳ, κατὰ κράτος αὐτὸν ἐξεφαύλισας.

Ταξιάρχαι οἱ πρῶτοι, οἷς Χρυσοβαλάντου μονὴ ἐσεμνύνετο, ἧραντο τὴν νίκην, τοῖς ἀγῶσι σου καλλωπιζόμενοι, καὶ σὲ προστατοῦντες, ἀπείραστον ἤδη τελοῦσαν, εἰς τὴν ἡγουμενείαν ἀνήγαγον.

Θεοτοκίον.

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ ἐλέους σου, ὦ ἐλεοῦσά μου, ἐπὶ σὲ γὰρ πάντες, οἱ φυγόντες ἐλέους τυγχάνουσι, διὸ κλίνων γόνυ, ἀντιβολῶ ἐλέησόν με, τῶν ἀγγέλων Κυρία καὶ σῶσόν με.

Καταβασία. Ὁ τοῦ φωτὸς διατμήξας.

Τῆς Θεοτόκου.

Ὠδὴ ϛ΄. Ὁ εἱρμός.

» Τὸν προφήτην Ἰωνᾶν, ἐκμιμούμενος βοῶ, τὴν ζωήν μου ἀγαθέ, ἐλευθέρωσον φθορᾶς καὶ σῶσόν με, Σωτὴρ τοῦ κόσμου κράζοντα δόξα σοι.

Τροπάρια.

Μολυνθέντα με πολλαῖς, ἁμαρτίαις τὴν ψυχήν, δυσωπῶ σε τὴν ἁγνήν, καὶ ἀμόλυντον σκηνὴν ἀπόπλυνον, παντοίου ῥύπου τῇ μεσιτείᾳ σου.

Κυβερνῆτίς μοι γενοῦ, θαλαττεύοντι ἀεί, ἐν πελάγει τῶν δεινῶν, τῶν τοῦ βίου πειρασμῶν καὶ σῶσόν με, πρὸς σωτηρίας ὅρμον ἰθύνουσα.

Τρικυμίαι λογισμῶν, καὶ παθῶν ἐπαγωγαί, καὶ βυθὸς ἁμαρτιῶν, τὴν ἀθλίαν μου ψυχὴν χειμάζουσι, βοήθησόν μοι ἁγία Δέσποινα.

Μεγαλεῖά σοι ἁγνή, ἐποιήσατο Χριστός· ὃν ἱκέτευε ἀεὶ μεγα-

www.tezaurliturgic.ro



λῦναι ἐπ᾿ ἐμοὶ τὰ πλούσια, αὐτοῦ ἐλέη Θεοχαρίτωτε.

Τὴν μητέρα τοῦ Θεοῦ, καὶ καλὴν ἐν γυναιξί, δυσωπῶ σε ἐκτενῶς, μὴ παρίδῃς με ἁγνὴ ἀλλ᾿ οἴκτειρον, καὶ πάσης βλάβης σῶον συντήρησον.

Τῆς Ὁσίας.
Ἱλάσθητί μοι Σωτήρ.

Ἰδών σοι ὁ Πλαστουργός, τὸ τῆς ἀγάπης διάπυρον, πρός τε αὐτὸν ἀκλινῶς, καὶ πρὸς τὸν πλησίον σου, δωρεαῖς μεγίσταις σε, ἀνταμείβει Μῆτερ, ὡς Θεοῦ κατοικητήριον.

Τοῖς ἄρχουσι θαυμαστή, ταῖς πατρικίαις περίβλεπτος, τοῖς βασιλεῦσιν αὐτοῖς, ἄκουσμα ξενότροπον, ἐγένου θεόστεπτε, τοῦ Χρυσοβαλάντου, Ἡγουμένη ἀξιΰμνητε.

Ὡς πῦρ σὲ θεοειδές, ἐναποφεύγουσι δαίμονες, ἡ νόσος ὑποχωρεῖ, τυφλοὶ δὲ κηρύττουσιν, Εἰρήνη χρυσώνυμε καὶ χωλοὶ τὴν χάριν, τῶν θαυμάτων σου τὴν ἄφθονον.

Θεοτοκίον.

Ταπείνωσιν ἀκραιφνῆ, ψυχῆς ὁμοῦ τε καὶ σώματος, αἰτῶ σε Μῆτερ Θεοῦ, ὅτι ἡ ἀπόνοια, πολὺ ἐπεβάρυνε, τὰ κινήματά μου, τῶν ἀγγέλων Κυριώνυμε.

Καταβασία. Ἐν τῷ θλίβεσθαί με.

Κοντάκιον.
Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἀγγέλων ζωήν, διήνυσας ἀοίδιμε, τὸ σῶμα τὸ σόν, ἀσκήσει δαπανήσασα, ἐν ταπεινώσει ὑψίστῃ φρονήματος, καὶ προσευχαῖς ἀνενδότοις καὶ στάσεσι· διὸ καὶ Θεός σοι δεδώρηται, ἰάσεων χάριν ἀπαράβλητον.

Ὁ Οἶκος.

Ὢ ταπείνωσις, ἀκρότης τῶν ἀρετῶν, ὁ ἀγλαὸς χαρακτὴρ καὶ ἡ θεία σφραγὶς τῶν πτωχῶν τῷ πνεύματι, τὸ ὕψος τὸ ἀκήρατον ποθήσασα ἡ πάλλευκος τοῦ οὐρανίου νυμφῶνος περιστερά, ὁ εὐγενὴς τῆς Καππαδοκίας βλαστός, ἡ πεποικιλμένη ταῖς ἀρεταῖς τοῦ Χριστοῦ νύμφη Εἰρήνη, σκύβαλα ἡγήσατο πάντα καὶ τήξασα τὸ σῶμα ταῖς ἀσκήσεσι, καὶ παλαίουσα τὴν ἀοίδιμον κατὰ τοῦ βροτοκτόνου πάλην, ἐνίκησεν αὐτοῦ τὰ πολυμήχανα ἔνεδρα ἐν τῷ Χρυσοβαλάντῳ, ἔνθα ἐσχάτη οὖσα πρώτη ἐγένετο καὶ ἔλαβε παρὰ τοῦ μεγαλοδώρου Δεσπότου Χριστοῦ, ἰάσεων χάριν ἀπαράβλητον.

Συναξάριον.

Τῇ ΚΗ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Εἰρήνης τῆς ἐκ Καππαδοκίας μὲν ὁρμωμένης, ἀσκησάσης δὲ ἐν τῇ μονῇ τοῦ Χρυσοβαλάντου.

Στίχοι.

Εἰρηνικῶς ἔζησας Εἰρήνη πάλαι,
Καὶ νῦν κατοικεῖς ἔνθα εἰρήνη βρύει.

Καὶ τὰ λοιπὰ τοῦ Συναξαρίου.

Ταῖς αὐτῆς ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Τῆς Θεοτόκου.
ᾨδὴ ζ΄. Ὁ εἱρμός.

» Τοὺς ἐν καμίνῳ παῖδας σου Σω-
» τήρ, οὐχ ἥψατο οὐδὲ παρηνώ-
» χλησε τὸ πῦρ, τότε οἱ τρεῖς ὡς ἐξ
» ἑνὸς στόματος, ὕμνουν καὶ εὐλόγουν
» λέγοντες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν
» πατέρων ἡμῶν.

Τὴν μιανθεῖσαν ἄχραντε ψυχήν, ἁγίασον πάντοτε τῶν δούλων σου

www.tezaurliturgic.ro



ἁγνή, καὶ τοῦ νοὸς δεινὰς αἰχμαλωσίας καὶ καρδίας πώρωσιν, τῶν καὶ δαιμόνων ὁρμάς, τάχος ἀφάνισον.

Νενεκρωμένον πάθεσι σαρκός, πανάμωμε ζώωσον τὸν νοῦν μου καὶ Θεῷ, τὰ ἀρεστὰ ἐπιτελεῖν ἐνίσχυσόν με· ἵνα μεγαλύνω σε, ἵνα δοξάζω ἀεὶ τὴν ἀγαθότητά σου.

Νέκρωσόν μου Δέσποινα ἁγνή, τὰ τῆς σαρκὸς πάθη καὶ ψυχῆς μου ταπεινῆς, ῥύπον δεινὸν ἐναποσμήχουσαν Παρθένε, καὶ λογοθεσίου με τῶν ἀοράτων ἐχθρῶν ῥῦσαι καὶ σῶσόν με.

Σοὶ παναγία ἄχραντε ἁγνή, οἱ δοῦλοί σου πάντοτε ἡμέρας καὶ νυκτός, προσπίπτομεν συντετριμμένῃ διανοίᾳ δυσωποῦντες, λύτρωσιν ἁμαρτημάτων εὑρεῖν ἡμᾶς, ταῖς σαῖς προσευχαῖς.

Ῥῦσαι γεέννης Δέσποινα ἁγνή, τὸν δοῦλόν σου, ῥῦσαι καταδίκης με φρικτῆς τοῦ σοῦ Υἱοῦ, ῥῦσαι κολάσεως ἁπάσης ἐμὲ τὸν κατάκριτον, ἐκδυσωποῦσα Θεὸν τὸν ὑπεράγαθον.

Τῆς Ὁσίας.

Παῖδες Ἑβραίων.

Ἤτησας γνῶσιν τῶν κρυφίων, εἰς ὠφέλειαν τῆς ποίμνης σου θεόφρον, ἀποστέλλει διό, Ἄγγελον φωτοφόρον, ὁ Κύριος δηλοῦντά σοι, τὰ κρυπτὰ τῶν μοναχῶν σου.

Πῦρ ὑπανάψας σοι ὁ δράκων, εὐχομένην σε χερσὶν ἀνυψωμέναις, ἐπειρᾶτο πυρός, θανάτῳ παραδοῦναι, ξυλίνην ἐπισκώπτων σε, ὁ ἀρχέκακος ἀλάστωρ.

Ἔβλυσαν ῥεῖθρα διδαγμάτων, ἐκ κοιλίας σου ὡς ἔφη ὁ Δεσπότης, ὅτι πίστιν ὀρθήν, ἐκτήσω πανολβία, φωτίζουσαν στηρίζουσαν, τὰς ψυχὰς τῶν μοναχῶν σου.

Θεοτοκίον.

Σπεῦσον Κυρία τῶν ἀγγέλων, καὶ ἀνάστησον εἰς πάθη με πεσόντα, ἐν μεγάλῳ ποτέ, σπηλαίῳ συμπεσόντα, ὡς ἤγειρας δοξάζοντα, τὴν πολλήν σου εὐσπλαγχνίαν.

Καταβασία. Ἀβραμιαῖοί ποτέ.

Τῆς Θεοτόκου.

Ὠδὴ η΄. Ὁ εἱρμός.

» Ὃν φρίττουσιν Ἄγγελοι καὶ
» πᾶσαι στρατιαί, ὡς κτίστην
» καὶ Κύριον ὑμνεῖτε ἱερεῖς, δοξάσα-
» τε παῖδες εὐλογεῖτε λαοί, καὶ ὑπε-
» ρυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Σαρκοῦται ὁ ἄσαρκος ἐκ σοῦ θεοπρεπῶς, ὃν αἴτησαι πάναγνε τὰ πάθη τῆς ἐμῆς, σαρκὸς θανατῶσαι καὶ ζωῶσαί μου, τὴν νενεκρωμένην ψυχὴν ταῖς ἁμαρτίαις.

Ἴάσω τὸ σύντριμμα Ἀδὰμ τοῦ χοϊκοῦ, Σωτῆρα κυήσασα πανάχραντε Θεόν, αὐτὸν ἐκδυσώπει τὰς πληγὰς τῆς ἐμῆς, ψυχῆς θεραπεῦσαι ἀνίατα νοσούσης.

Ἀνάστησον κείμενον εἰς βάθη με κακῶν, τοὺς νῦν πολεμοῦντάς με πολέμησον ἐχθρούς, τρωθέντα ἀτόποις ἡδοναῖς τὴν ψυχήν, ἁγνὴ μὴ παρίδῃς ἀλλ᾽ οἴκτειρον καὶ σῶσον.

Ἰάτρευσον ἄχραντε τὰ πάθη τῆς ἐμῆς, καρδίας κυήσασα τὸν πάντων ἰατρόν, καὶ τῆς τῶν δικαίων δεῖξον μέτοχον, Παρθένε μερίδος Χριστὸν ἐκδυσωποῦσα.

Ὡς κρίνον κοιλάσι σε τοῦ βίου εὑρηκώς, ἐν σοὶ κατεσκήνωσεν

www.tezaurliturgic.ro



ὁ πάντων φυτουργός, δομαῖς ἐναρέτοις καὶ σεμνότητος νῦν, κατευωδιάζων ἡμᾶς θεογεννῆτορ.

Τῆς Ὁσίας.

Ἑπταπλασίως κάμινον.

Φρικῶδες τερατούργημα! μοναχὴν τίς ἑώρακε, σὲ προσευχομένην τὰς χεῖρας ἐπαίρουσαν, ἐκ γῆς δὲ μετέωρον, καὶ κυπαρίσσων τὰς κορυφάς, εἰς τὴν γῆν κλινούσας, ἃς εὐλόγησας μῆτερ, βοῶσα ἀνυμνεῖτε, τὸν Κύριον τὰ ἔργα, παρθένοι εὐλογεῖτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Καὶ ἕτερον ἀκούσατε, εὐωδίας ἀνάπλεων. Ναύκληρος φοιτήσας μῆλά σοι ἐκόμισε, καρπὸν παραδείσιον, ἐπιστήθιον δῶρον φρικτόν, ὧν μεταλαβοῦσα, ἐν χαρᾷ ἀνεκφράστῳ, ἐπλήσθης εὐωδίας, βοῶσα εὐλογεῖτε, τὸν Κύριον τὰ ἔργα, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν δόξαν τὴν οὐράνιον, μόνην μῆτερ ποθήσασα, τιμὰς μετὰ πότμον, ἀπηύξω ἐν γῇ λαβεῖν· διό σοι ὀπτάνονται, καθ' ὕπνους ἄγγελοι τοῦ Θεοῦ, ἀρωματικά, ἀλάβαστρα ἐκκενοῦντες, τῇ ἱερᾷ τραπέζῃ, ἣν εἶτα δι' ὀθόνης, καλύψαντες ἀπῆλθον, τὸν Κύριον ὑμνοῦντες.

Θεοτοκίον.

Φοβεῖ καὶ ἐκταράττει με, τὸ φρικῶδες κριτήριον, τοῦ Υἱοῦ καὶ Θεοῦ σου καὶ Πλάστου μου Δέσποινα, αἰσχύνης γὰρ ἔπραξα, ἔργα παμμίαρα καὶ δεινά, διὸ θλιβερῶς, ἀναβοῶ πρόφθασόν με, Κυρία τῶν ἀγγέλων καὶ ῥῦσαί με ὡς οἶδας, τοῦ ἐξωτέρου σκότους, φωτὶ τῆς μετανοίας.

Καταβασία. Οἱ ἐν Βαβυλῶνι παῖδες.

Τῆς Θεοτόκου.

Ὠδὴ θ'. Ὁ εἱρμός.

» Τὴν φωτοφόρον νεφέλην, ἐν ᾗ ὁ
» πάντων Δεσπότης, ὡς ὑετὸς ἐξ
» οὐρανοῦ ἐπὶ πόκον κατῆλθε, καὶ ἐ-
» σαρκώθη δι' ἡμᾶς, γενόμενος ἄν-
» θρωπος ὁ ἄναρχος, μεγαλύνωμεν
» πάντες ὡς Μητέρα, τοῦ Θεοῦ ἡμῶν
» ἁγνήν.

Φιλαμαρτήμων ὑπάρχων, ἐν ἀμελείᾳ διάγω, καὶ τὸ κριτήριον ἁγνὴ τὸ ἀδέκαστον τρέμω· ἐν ᾧ με τήρησον ταῖς σαῖς ἁγίαις δεήσεσιν ἀνεύθυνον, ἀκατάκριτον ὅπως ὡς προστάτιν, μακαρίζω σε ἀεί.

Φρίττω τὸ βῆμα Παρθένε, καὶ τὸ ἀλάθητον ὄμμα, τοῦ σοῦ Υἱοῦ πράξεις αἰσχράς, ἐπὶ γῆς ἐκτελέσας· καὶ διὰ τοῦτό σοι βοῶ πανεύσπλαγχνε Δέσποινα βοήθει μοι, καὶ τῆς τότε ἀνάγκης ἐξελοῦ με, καὶ διάσωσον ἁγνή.

Ὡς φοβερὰ ἡ ἡμέρα, τῆς ἐξετάσεως Κόρη· ὡς ἡ ἀπόφασις φρικτή· ὡς δεινὴ ἡ αἰσχύνη, τίς ὑποστήσεται λοιπόν, πανάχραντε Δέσποινα; ἐλέησον, τὴν ἀθλίαν ψυχήν μου καὶ πρὸ τέλους, δός μοι ἄφεσιν ἁγνή.

Φῶς ἡ τεκοῦσα τὸ θεῖον, ἐσκοτισμένον με πάσαις, ταῖς μεθοδείαις τοῦ ἐχθροῦ καὶ ῥαθύμως βιοῦντα, καὶ παροργίζοντα Θεόν, πανάμωμε φώτισον, ὁδήγησον, πρὸς καλὰς ἐργασίας ὡς αἰτία, οὖσα πάντων τῶν καλῶν.

Φωτιστικαῖς λαμπηδόσι, τοῦ ἀνατείλαντος Λόγου, ἐκ τῆς ἁγίας σου γαστρὸς Θεοτόκε Παρθένε, καὶ καταυγάσαντος τῆς γῆς, τὰ πέρατα φώτισον τὴν ψυχήν μου, ἡδονῶν ἀμαυρώσει σκοτισθεῖσαν, ἵνα πίστει σε ὑμνῶ.

www.tezaurliturgic.ro



Τῆς Ὁσίας.
Ἐξέστη ἐπὶ τούτῳ.

Ἐργάτην τῶν ἀμπέλων τῆς σῆς μονῆς, δαιμονῶντα ἰάσω, πανθαύμαστε, καὶ ἀδελφήν, ἄλλην θῦμα μάγου ὀλοθρευτοῦ, ἧς τὰς μαγείας ἔλυσε. Βασίλειος ὁ μέγας παρακληθείς, τῶν μάγων ὁ διώκτης, καὶ τῶν δαιμονιώντων, σωφρονιστὴς ὁ ἀσφαλέστατος.

Ἐφάνης ἐν ὀνείρῳ τῷ βασιλεῖ, ὥσπερ πάλαι ὁ μέγας Νικόλαος, καὶ αὐστηρῶς, ἄρχοντος ἀθώου σου συγγενοῦς, ᾐτήσω τὴν ἀπόλυσιν, ἣν ὡς ἀφυπνώσας ὁ βασιλεύς, ἰδών σε εἰσελθοῦσαν, καὶ ἄφνω ἐξελθοῦσαν, θυρῶν συγκεκλεισμένων τρόμῳ βάλλεται.

Ἐξαίσια καὶ ὄντως ἐκπληκτικά, τὰ θαυμάσια μῆτερ τοῦ βίου σου, ὧν πᾶσαν γῆν, ἔδραμεν ἡ φήμη κήρυξ τρανός, ἀλλὰ τὴν δόξαν φεύγουσα, ἐν τῇ ταπεινώσει ἀναψυχήν, ἑώρας καὶ δακρύοις, θερμοῖς τὸ πρόσωπόν σου, κεκαλυμμένον ἐναπέλουες.

Ἡμᾶς τοὺς ἐκτελοῦντας τὴν ἑορτήν, τὴν φωσφόρον σου, μῆτερ χρυσώνυμε, ὥσπερ πιστά, τέκνα σου περίσωζε μητρικάς, εὐχὰς προσαναπέμπουσα, πρὸς τὸν τῶν ἁπάντων Δημιουργόν, καὶ πλήρου εὐωδίας, μήλων ἐξ ἀθανάτων, τοῦ ὑμνῳδοῦ σου τὴν στενὴν ὁδόν.

Θεοτοκίον.

Κυρία τῶν ἀγγέλων ἡ χαρμονή, τῶν πτωχῶν σου παρθένων ἡ ἄρδητος, ἐν τῇ μονῇ τοῦ Κεχροβουνίου τῇ γεραρᾷ, ἐνασκουμένων σκέπασον, σκέπη πλατυτέρα τῶν οὐρανῶν, ἁπάσας καὶ τὰς θλίψεις, αὐτῶν καὶ τὰς ὀδύνας, τὰς διὰ σὲ ἐπικουφίζουσα.

Καταβασία. Ὁ τόκος σου ἄφθορος.

Ἐξαποστειλάριον.
Γυναῖκες ἀκουτίσθητε.

Χοροὺς ἀγγέλων ἤθροισεν, ἡ κοίμησίς σου πάνσεμνε, πρὸς οὓς καὶ προσμειδιῶσα, παρέδωκας τῷ Κυρίῳ, τῷ πνεῦμά σου θεόληπτε, Εἰρήνη θαυματόβρυτε, Καππαδοκίας καύχημα, παρθένων δὲ προεστῶσα, μονῆς τοῦ Χρυσοβαλάντου.

Θεοτοκίον.

Κυρία μου καὶ Δέσποινα, τῆς προσευχῆς ἐπάκουσον, τοῦ σοῦ ἀχρείου οἰκέτου, ἣν κλαίων σοι ἀναπέμπω, καὶ κάθαρον τοῦ ρύπου με, παραπτωμάτων ἄχραντε, οἷς κατεχράνθην πλανηθείς, ἐν τῇ ἀπάτῃ τοῦ κόσμου, παρὰ ἐχθρῶν ψυχοφθόρων.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.*

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου.

Μῆτερ ὁσία πανεύφημε, ἐθαυμαστώθη ἐν σοί, τοῦ Ὑψίστου ἡ δύναμις, ὅτι ὤφθης πέλαγος, καὶ πηγὴ ἀνεξάντλητος, θαυμάτων ξένων πᾶσι τοῖς πέρασι, δι᾽ ὧν καὶ ζῶσα καὶ μετὰ θάνατον, σώζεις τοὺς πάσχοντας, τοὺς τὴν θείαν μνήμην σου ἐν ἱεροῖς, ᾄσμασι γεραίροντας, Εἰρήνη πάνσεμνε (δίς)

Ἔχει οὐρανὸς τὰς χάριτας, καὶ τὰς τῶν ἄστρων βολάς, οἱ χοροὶ τῶν παρθένων δέ, ἔχουν σὲ τὴν πάνσεμνον καταυγάζονται χαίροντες, ταῖς τῶν ἀγώνων καὶ παλαισμάτων σου, φωτοχυσίαις Εἰρήνη ἔνδοξε, δι᾽ ὧν κατε-

www.tezaurliturgic.ro



πάλαισας, τὸν ἀρχαῖον δράκοντα τὸν σκολιόν, τοῦ Θεοῦ πλουσίαν σοι, χάριν βραβεύσαντος.

Πλήθη μοναστῶν συνέδραμον, καὶ λαϊκῶν στρατιαί, τοῦ κηδεῦσαι τὸ πάντιμον, καὶ ὡραῖον λείψανον, τῆς ψυχῆς σου τὸ σκήνωμα, δι' οὗ τοὺς ἄθλους γενναίως ἤθλησας, διὰ τοῦ Κτίστου σου τὴν ἀγάπησιν, καὶ ἐνεπλήσθησαν, εὐωδίας πάνσεμνε ὁσιακῆς, ὑπὲρ τὰ ἀρώματα, τῆς γῆς τὰ τίμια.

Δόξα. Ἦχος πλ. δ'.

Πρέπει τῇ Ἡγουμένῃ τοῦ Χρυσοβαλάντου ἡ ὑμνῳδία, πρέπει τῇ Εἰρήνῃ τῶν ἀνθέων ἡ πλημμύρα. Ταύτης γὰρ οἱ ἀνείκαστοι ἀγῶνες κατεπτόησαν σατὰν τὸν βροτοκτόνον, ὃς καὶ πῦρ ἐξαίφνης προσήναψεν, ἐπὶ τῶν ἱερῶν ἱματίων, τῆς κεφαλῆς καὶ τοῦ σώματος. Ἀλλ' αὐτή, ἀνδρείως ὑποστᾶσα τὴν ἐπιβουλήν, τῷ φρικτῷ ὀνόματι τοῦ Ἰησοῦ, αὐτὸν κατετρόπωσε. Καὶ φεύγων τὴν ἐκ τῆς καιομένης σαρκός, ἀποπνέουσαν μυρεψικὴν εὐωδίαν, τὴν ἧτταν αὐτοῦ κατωλόλυξεν. Ἧς ταῖς πρεσβείαις τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καὶ νῦν.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη, ἡ α' ὥρα καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικὰ καὶ οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τῆς Ὁσίας ἡ γ' καὶ ἡ ς' ᾠδή.

Ὁ Ἀπόστολος πρὸς Ἑβραίους.

Πείθεσθε τοῖς ἡγουμένοις ἡμῶν...

(Ζήτει αὐτὸν τῇ 6 Δεκεμβρίου)

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἠρώτα τις τῶν Φαρισαίων...

(Ζήτει τῇ 16 Σεπτεμβρίου)

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Ψαλλόμενον ἐν τοῖς διπτύχοις.

Τῶν παρθένων στίφη καὶ μοναστῶν, ᾄσμασιν ἐνθέοις, εὐφημήσωμεν εὐλαβῶς, τοῦ Χρυσοβαλάντου, μονῆς τὴν Ἡγουμένην, Εἰρήνην τῶν θαυμάτων πηγὴν ἀκένωτον.